P.Hal. 1.166-185 (TM 5876 ; nome apollonopolite [Haute Égypte, près d’Edfou], postérieur à 259 ap. J.-C.)

βασιλεὺς Πτολεμαῖος Ἀντιόχωι χαίρειν. περὶ τῆς σταθμοδοσίας τῶν στρατιωτῶν ἀκούομεν πλείω τινα βίαν γίνεσθαι τὰς καταλύσεις παρὰ τῶν οἰκονόμων οὐ λαμβανόντων, ἀλλ’ αὐτῶν εἰς τὰς οἰκίας εἰσπηδώντων τοὺς ἀνθρώπους ἐγβάλλοντας βίαι ἐνοικῖν. σύνταξον οὖν, ὅπω[ς] τοῦ [λ]οιποῦ μὴ γίνηται τοῦτο, ἀλλὰ μάλιστα μὲν αὐτοὶ στε[γ]α̣ν̣ο̣μείσθωσαν. εἰ δὲ ἄρα δεῖ αὐτοῖς σταθμοὺς δίδο[σθ]αι π[α]ρὰ τῶν οἰκονόμων, διδότωσαν α[ὐ]τοῖς τοὺς ἀναγκαίους, καὶ ὅταν ἀπολύωνται ἐκ τῶν [στ]αθμῶν, ἀναποιή[σ]α̣ντες ἀφιέτωσα[ν] τοὺς σταθμοὺς καὶ \μὴ/ καταλ̣[ι]π̣έ̣τ̣ωσαν, ἕως ἂν πά[λ]ιν παραγένωνται, καθάπερ νῦν ἀ[κο]ύο[με]ν γίνεσθαι, ὅτ[αν] ἀποπορεύωνται, ἀπ[ο-]μισθοῦν αὐτοὺς καὶ ἀποσ̣φ̣ρ̣α̣[γισα]μένους τὰ οἰκήματα ἀποτρ[έ]χειν. μάλιστα δὲ π[ρονό]ησον Ἀρσινόης τῆς κατὰ Ἀ[π]όλλωνος πόλιν, ὅπω[ς, ἐὰ]ν παραγένωνται στρατ[ιῶ]ται, μηθεὶς ἐπιστα[θ]μεύσηι, ἀλλὰ καὶ ἐν Ἀπόλ-λωνος π[ό]λει διατρίβωσιν. [ἐ]ὰν δέ τι ἀναγκαῖον ἦι ἐν Ἀρσιν[ό]ηι καταμ̣ένε̣ι̣ν̣ ἑ[αυ]τ̣οῖς οἰκίδια ἀναπλασσέτω\σαν/, καθάπερ καὶ οἱ πρότερ[ον παρ]αγενόμενοι ἐποίησαν.

ἔρρωσο.






Mer Méditerranée
Jérusalem
Canope
Alexandrie
Raphia
Saïs
Sébennytos
Thmouis
Péluse
Lac Sirbônis
Naucratis
Wadi Natroun
Athribis
Tanis
ASIE
Oasis de Siwah
Héroônpolis
Boubastis
Pétra
Gizeh
Héliopolis
Arsinoé
Saqqara
Memphis
NABATÉENS
Lac Moéris
LE FAYOUM
Krokodilônpolis
SINAÏ
Hérakléopolis
Petite Oasis (Bahariya)
MOYENNE ÉGYPTE
Oxyrhynchos
ARABIE
Antinooupolis
Hermoupolis (Magna)
DÉSERT LIBYQUE
THÉBAÏDE
Mont Porphyritês
Mont Claudianus
Aphroditopolis
Panopolis (Akhmin)
Ptolémaïs
Oasis de Dakhla
Hibis
Nil
Myos Hormos
Koptos
Mer Rouge
Thèbes
Pathyris
Grande Oasis (Kharga)
Latopolis (Esna)
Apollonopolis-la-Grande (Edfou)
Mont des Émeraudes
Kysis (Doush)
Ombos (Kôm Ombo)
Bérénice
Éléphantine
Syène (Assouan)
Première Cataracte
Philae
ÉTHIOPIE
Abou Simbel
75
150 km
Deuxième Cataracte

Edfou, temple d'Horus (bâti à la période ptolémaïque)



Ville moderne d'Edfou

